*Ὡς οὐδὲν οἶδ᾽ ἄνθρωπος ὧν μέλλει ποιεῖν.*
*Ὡς οὐδὲν ἡ μάθησις, ἂν μὴ νοῦς παρῇ.*
*Ὦ Ζεῦ, τὸ πάντων κρεῖττόν ἐστι νοῦν ἔχειν.*
*Ὡς πάντα τιμῆς ἐστι πλὴν τρόπου κακοῦ.*
*Ὡς χρηστὰ πράττειν κρεῖττόν ἐστ᾽ ἐλευθέρως.*
*Ὦ γῆρας ἐχθρὸν σωμάτων ἀνθρωπίνων,*
*ἅπαντα συλῶν ⟨τὰ⟩ καλὰ τῆς εὐμορφίας.*
*Ὡς ἡδὺς ὁ βίος, ἄν τις αὐτὸν μὴ μάθῃ.*
*Ὡς μέγα τὸ μικρόν ἐστιν ἐν καιρῷ δοθέν.*
*Ὥρα τὰ πάντα τοῦ βίου κρίνει καλῶς.*
*Ὡς ποικίλον πρᾶγμ᾽ ἐστὶ καὶ πλάνον τύχη.*
*Ὡς πολλὰ θνητοῖς ἡ σχολὴ ποιεῖ κακά.*
*Ὧν ἦρξε γαστήρ, τὸ φρονεῖν ἀφῃρέθη.*
*Ὦ γῆρας ἀνθρώποισιν εὐκταῖον κακόν.*



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id403921082/89 UNIVERSITÄT LEIPZIG